θέσθαι δύναι᾽ ἄν, ὡς ἄπλατον ἦν ἰδεῖν,
πολλοὶ μὲν ἱππεῖς, πολλὰ πελταστῶν τέλη,
πολλοὶ δ᾽ ἀτράκτων τοξόται, πολὺς δ᾽ ὄχλος
γυμνὴς ὁμαρτῇ, Θρῃκίαν ἔχων στολήν.
τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ᾽ ἀνήρ,
ὃν οὔτε φεύγων οὔθ᾽ ὑποσταθεὶς δορὶ
ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.

ΧΟ. ὅταν πολίταις εὐσταθῶσι δαίμονες,
ἕρπει κατάντης ξυμφορὰ πρὸς τἀγαθά.

ΕΚ. πολλούς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ
καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
ἀλλ᾽ οὐδὲν αὐτῶν δεόμεθ᾽, οἵτινες πάλαι
μὴ ξυμπονοῦσιν, ἡνίκ᾽ ἐξώστης Ἄρης
ἔθραυε λαίφη τῆσδε γῆς μέγας πνέων.
Ῥῖσος δ᾽ ἔδειξεν οἷος ἦν Τροίᾳ φίλος·
ἥκει γὰρ εἰς δαῖτ᾽, οὐ παρὼν κυνηγέταις
αἱροῦσι λείαν οὐδὲ συγκαμὼν δορί.

ΧΟ. ὀρθῶς ἀτίζεις κἀπίμομφος εἶ φίλοις·
δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.

ΕΚ. ἀρκοῦμεν οἱ σῴζοντες Ἴλιον πάλαι.

ΧΟ. πέποιθας ἤδη πολεμίους ᾑρηκέναι;

ΕΚ. πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.

ΧΟ. ὅρα τὸ μέλλον· πόλλ᾽ ἀναστρέφει θεός.

ΕΚ. μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.
ὃ δ᾽ οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
ξένος δὲ πρὸς τράπεζαν ἡκέτω ξένων·
χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο.

ΧΟ. ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον·

ΑΓΓ. φόβος γένοιτ᾽ ἂν πολεμίοις ὀφθεὶς μόνον.

ΕΚ. σύ τ᾽ εὖ παραινεῖς καὶ σὺ καιρίως σκοπεῖς.
ὁ χρυσοτευχὴς δ᾽ οὕνεκ᾽ ἀγγέλου λόγων
Ῥῆσος παρέσται τῇδε σύμμαχος χθονί.

---

310. *δυναίμην ABC* 312. *πολλοί τ᾽* BC *πομποί τ᾽* bc 318. *τἀγαθόν ABC* 323. *ἔφαυσε ABC* 324. *Τροίας ABC* 327. *κἀπίμορφος* BCbc 329. *πόλιν ABC* 334. 35. transposuit Nauckius mutata personarum dispositione. 336. *ὃ δ᾽*] Nauckius, *ὅδ᾽* libri. 340. *δ᾽* om. BC *οὖν ἐκ* B 341. *παρέστω ABC*